περὶ τοῖν σκελοῖν ἰδοῦσα καὶ τὸν χρύσεον
κλῳὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα
ἐξεπτοήθη, Μενέλεων, ἀνθρώπιον
λῷστον, λιποῦσα. μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ' εἰ μὴ 'μοὶ μόνῳ.

ΣΙΛΗΝΟΣ

ἰδοὺ τάδ' ὑμῖν ποιμνίων βοσκήματα,
ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαί,
πηκτοῦ γάλακτός τ' οὐ σπάνια τυρεύματα.
φέρεσθε, χωρεῖθ' ὡς τάχιστ' ἄντρων ἄπο,
βότρυος ἐμοὶ πῶμ' ἀντιδόντες εὐίου.
οἴμοι· Κύκλωψ ὅδ' ἔρχεται· τί δράσομεν;
ΟΔ. ἀπολώλαμεν γάρ, ὦ γέρον, ποῖ χρὴ φυγεῖν;
ΣΙ. ἔσω πέτρας τῆσδ', οὗπερ ἂν λάθοιτέ γε.
ΟΔ. δεινὸν τόδ' εἶπας, ἀρκύων μολεῖν ἔσω.
ΣΙ. οὐ δεινόν· εἰσὶ καταφυγαὶ πολλαὶ πέτρας.
ΟΔ. οὐ δῆτ'· ἐπεὶ τἂν μεγάλα γ' ἡ Τροία στένοι,
εἰ φευξόμεσθ' ἕν' ἄνδρα, μυρίον δ' ὄχλον
Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
ἀλλ', εἰ θανεῖν δεῖ, κατθανούμεθ' εὐγενῶς,
ἢ ζῶντες αἶνον τὸν πάροιθε σώσομεν.

ΚΥΚΛΩΨ

ἄνεχε, πάρεχε, τί τάδε; τίς ἡ ῥαθυμία;
τί βακχιάζετ'; οὐχὶ Διόνυσος τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ' ἀράγματα.
πῶς μοι κατ' ἄντρα νεόγονα βλαστήματα;
ἦ πρός τε μαστοῖς εἰσι χὐπὸ μητέρων

---

183. τοῖν *L*, τὴν *P*   184 κλῳὸν] Dindorf, κλοιὸν *LP*, cfr. 235   186 λῶστον *LP*, λῷστον *p* | fort. μηδαμῶς, cfr. Bacch. 46, ubi οὐδαμοῦ *P*, οὐδαμῶς *L*   187 μή μοι *LP*   188 personae notam om. *LP*, add. Tyrwhitt | ποιμνίων] Scaliger, ποιμένων *LP*   191 φέρεσθε *Lp*, φέρεσθαι *P*   192 fort. εὔιον   193 sq. Ulixi tribuunt *LP*, correxit L. Dindorf   196 ἀρκύων *LP*   197 καταφυγὴ *P*, corr. *p*   198 στένει *LP*, οι super ει scr. *p*   201 δεῖ] fort. χρή   202 πάροιθε] Hartung, πάρος εὖ *LP*, πάρος γ' εὖ *l*, cfr. Tro. 1050   203 Sileno, 204 Cyclopi tribuunt *LP*, corr. Tyrwhitt   204 οὐχὶ Διόνυσος] Musgrave, οὐ διόνυσος *P*, οὐ διώνυσος *L*   207 ἦ *LP* | τε] L Dindorf, γε *LP* | εἰσὶ χ' ὑπὸ (χ in ras., fuerat scilicet καὶ ὑπὸ) *L*, εἰσὶν ἢ χ'ὑπὸ *l*, εἰσὶ χ'ὑπὸ *P*

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG